περὶ τοὺς ἐμοὺς ὑπηκόους ἐξήμαρτεν. ἔστω τὰ τῆς εὐπρα-
γίας κοινά.'' ἐπὶ τούτοις φιλοφρονησάμενος πρὸς τὸν Πρίσκον 18
τὸν Θεόδωρον πέπομφεν. ὁ μὲν οὖν Θεόδωρος γεγονὼς
πρὸς τὸν Πρίσκον διεξῆλθεν αὐτῷ τοῦ βαρβάρου τοὺς λόγους, fol. 143r
ὁ δὲ Πρίσκος τῇ ὑστεραίᾳ ἐκκλησίαν ἐκάθισε παρῄνει τε
Ῥωμαίοις κοινωνὸν τῶν λαφύρων ποιήσασθαι καὶ τὸν βάρ-
βαρον. οἱ δὲ Ῥωμαῖοι τέως πρὸς τὸ συνοίσειν μὴ ἐνδημή- 19
σαντες κατεστασίαζον τοῦ στρατηγοῦ. ὁ δὲ στρατηγὸς πολλοῖς
καὶ ποικίλοις καὶ λίαν ἐντελέσι λόγοις χρησάμενος τὰς δυνά- 267 B
μεις ὑπέπεισε δοῦναί τι τῷ βαρβάρῳ τῆς λείας. ἀπέδοντο 20
τοίνυν Ῥωμαῖοι τοὺς ἑαλωκότας τῷ Χαγάνῳ βαρβάρους, τῶν
δὲ λοιπῶν λαφύρων ἀμέτοχον αὐτὸν ποιησάμενοι διαλύουσι
τὸ ἀμφίβολον. ἀσμενίσας τοίνυν ὁ Χαγάνος τὴν τῶν βαρ-
βάρων ἀπόδοσιν χώραν ἐδίδου ταῖς διαβάσεσιν. οὕτω μὲν 21
οὖν οἱ Ῥωμαῖοι πέντε χιλιάδας βαρβάρων τῷ Χαγάνῳ
προῖκα καταβαλόμενοι ἐπὶ τὰ Δριζίπερα γίνονται. ὁ δὲ
στρατηγὸς ἀφίκετο ἐς Βυζάντιον. τοιγαροῦν ὁ Μαυρίκιος
τῷ Πρίσκῳ ἐμέμφετο σφάλμασί τε εὐηθείας αὐτὸν περιέβαλλεν
ἀσυνέτως ἀποδεδωκότα τῷ βαρβάρῳ τὴν λείαν.

## ΙΣΤΟΡΙΑ Ζ΄.

1. Οὕτω μὲν οὖν Πρίσκος ἀπεχειροτονεῖτο, πολέμαρχος 270 B
δὲ ὑπὸ τοῦ αὐτοκράτορος ὁ Πέτρος ἀναγορεύεται, ὃς καὶ 1
αὐτάδελφος Μαυρικίου ἐτύγχανεν ὤν. ἐγχαράττει τοίνυν
βασιλικὰς ἐπιστολὰς ὁ Μαυρίκιος, ταύτας τε τῷ στρατηγῷ
ἐπιδοὺς τοῦτον ἀπεκδημεῖν τοῦ ἄστεος παρεσκεύαζε καὶ πρὸς
τὸ στρατόπεδον ἀφικέσθαι παρεκελεύετο. ἡ μία τοιγαροῦν 2